# TEZAUR LITURGIC

## 15 AUGUST

# EGKOMIA ADORMIRII MAICII DOMNULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 15 ΑΥΓΟΥΣΤΟΥ

# ΕΓΚΩΜΙΑ ΠΑΝΑΓΙΑΣ

## Στάσις πρώτη.

*Ἦχος πλ. α΄.*

Ἡ ζωὴ ἐν τάφῳ, κατετέθης Ἁγνή, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, τὴν μετάστασιν δοξάζουσαι τὴν Σήν.

Ἡ ζωὴ πῶς θνήσκεις, πῶς καὶ τάφῳ οἰκεῖς, πῶς καὶ θάνατον ὑπέστης Πανάμωμε, τὸν ἀθάνατον γεννήσασα Χριστόν.

Μεγαλύνομέν Σε, τὴν Μητέρα Θεοῦ, καὶ τιμῶμεν τὴν ἁγία Σου Κοίμησιν, ἣν ὑπέστης κατὰ νόμον τῶν βροτῶν.

Μετὰ Μυροφόρων, τῶν σεπτῶν γυναικῶν, καὶ τῶν θείων Ἀπόστολων Πανάχραντε, τὴν Σὴν κλίνην νῦν κυκλοῦμεν νοερῶς.

Καὶ ἐκ γῆς μετέστης, καὶ ἡμῶν μηδαμῶς, τῶν πιστῶν καὶ ἱκετῶν Σου ἀφέστηκας, ἀλλὰ σκέπεις καὶ φυλάττεις νοερῶς.

Ὡς φωτὸς λυχνία, ἡ ἑπτάφωτος Σύ, φέγγεις τοῖς πιστοῖς εἰς ἀπάθειαν, ἐκδιώκουσα παθῶν τὸν σκοτασμόν.

Τῆς ζωῆς τὴν πέτραν, τὴν ἀκρότομον Σύ, ἐκ νηδύος Σου Ἁγνὴ ἀπεκύησας, καὶ ἐξύφανας τοῦ κόσμου τὴν ζωήν.

Ἐπὶ γῆς κατῆλθεν, ἵνα σώσῃ Ἀδάμ, Ἰησοῦς ὁ Ζωοδότης καὶ ᾤκησεν, ὥσπερ πόλος ἐν τῇ μήτρᾳ Σου Ἁγνή.

Ἡ ζωὴν τεκοῦσα, πῶς ὁρᾶται νεκρά, ἐκπληττόμενοι οἱ Ἄγγελοι ἔλεγον, πῶς δ' ἐν μνήματι ἐγκλείεται σμικρῷ;

Νεκρωθέντα πάλαι, τὸν Ἀδὰμ φθονερῶς, ἐπανάγαγεις πρὸς ζωὴν ἐν τῷ Τόκῳ Σου, καὶ γὰρ τέτοκας προάναρχον Θεόν.

Ἁπλωθεῖσα τάφῳ, συνηγάγω βροτούς, πάντας τοὺς πιστοὺς εἰς προσκύνησιν, ἐνῷ τέθαψαι ἡ θεία Κιβωτός.

## Στάσις Δευτέρα.

Ἦχος πλ. α'.

Ἄξιόν ἐστι, μεγαλύνειν Σε τὴν Θεοτόκον, τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν τῶν Σεραφείμ.

Ἄξιόν ἐστι, μεγαλύνειν Σε Παρθενομήτωρ, τὴν τὸν Θεὸν Λόγον χωρήσασαν, ἐν ἀχράντῳ Σου γαστρὶ παρθενικῶς.

Ὕπνωσας Ἁγνή, ἐν θανάτῳ ὡς καὶ ὁ Υἱός Σου, ἀλλὰ ὡς ἐξ ὕπνου ἐξήγειρεν, ἐκ τοῦ τάφου Σου τὸν ἄχραντον Ναόν.

Μῦρον ἀληθῶς, Σὺ ὑπάρχεις Ἄχραντε Παρθένε, ὡς τὸν κόσμον πάντα μυρίσασα, τὸν μυρίπνοον γεννήσασα Χριστόν.

Ῥεῖθρον τῆς ζωῆς, ἡ κυήσασα Θεοῦ Σοφίαν, τὴν ἐμὴν καρδίαν κατάρδευσον, ξηρανθεῖσαν τῆς κακίας τῷ αὐχμῷ.

Ὄμμα τὸ γλυκύ, καὶ πανίερόν Σου Θεοτόκε, πρὸς τὸν Σὸν Υἱὸν ἐνατένισον, ὅπως ἵλεως γενήσεται ἡμῖν.

Ἔδης ὑπὸ γῆν, ἡ λαμπρόφωτος χρυσῆ σελήνη, καὶ τὸ θεῖον φῶς Σου κατηύγασε, κυκεῶνας ὑπὸ γῆν τοὺς ζοφερούς.

Ὡς περιστερά, τὸ κατάλευκον τῆς παρθενίας, περιβεβλημένη Θεόνυμφε, ἐπετάσθη ἡ ἁγία Σου ψυχή.

Θεῖος Γαβριήλ, ὡς ποτὲ ἐν Ναζαρὲτ τῇ πόλει, ἦλθεν ἀπαγγεῖλαί Σοι τὴν ταφήν, καὶ ἐν τῷ χωρίῳ Γεσθημανεῖ.

Ἔκλαιε πικρῶς, ἡ χορεία τῶν Μυροφόρων, ὅτε ἐν τῷ τάφῳ ἑώρακε, Σὲ τὴν ἄσπιλον Μητέρα τοῦ Θεοῦ.

Ὕμνοις καὶ ᾠδαῖς, ἐξοδίοις ᾄδομέν Σοι Κόρη, καὶ τὴν Σὴν ταφὴν ἐκθειάζομεν, οἱ τῷ Τόκῳ Σου σωθέντες τῶν δεινῶν.

## Στάσις Τρίτη.

Ἦχος γ΄.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ Σου, προσφέρουσι Παρθένε.

Μυροφόροι ἅμα, σὺν τοῖς Ἀποστόλοις, ὕμνοις Σοι θρηνωδοῦσι.

Δεῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους, οἴσομεν τῇ Παρθένῳ.

Ὡς νεκρὰν καὶ ζῶσαν, σὺν Μυροφόροις πάντες, ὑμνήσωμεν ἐνθέως.

Ὢ γλυκεῖα Μήτηρ, Χριστοῦ τοῦ Θεοῦ Λόγου, εὐλόγησον τὸν κόσμον.

Θρῆνον σὺν ἐκείνοις, προσάδουσι Παρθένε, γυναῖκες Μυροφόροι.

Σῶμα τὸ ζωηφόρον, καὶ ἄχραντον κηδεύει, χορὸς τῶν Ἀποστόλων.

Ἔῤῥαναν τὸν τάφον, μύροις τὸ Σὸν Σκῆνος, κηδεύσαντες Παρθένε *(γ΄).*

Ἔῤῥαναν τὸν τάφον, οἱ κηδεύσαντές Σε, ἄνθεσι καὶ μύροις *(γ΄)*.

Οὐράνιαι δυνάμεις, ἐξέστησαν ὁρῶσαι, Σὲ τάφῳ ἡπλωμένην.

Εἰρήνην Ἐκκλησία, λαῷ Σου σωτηρίαν, δώρησαι Θεοτόκε.

